ἐπιλέγῃς εὐθὺς ὅτι 'λούσασθαι θέλω καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι'. [n] καὶ ὡσαύτως ἐφ' ἑκάστου ἔργου. οὕτω γὰρ [o] ἄν τι πρὸς τὸ λούσασθαι γένηται ἐμποδών, πρόχειρον ἔσται διότι [p] 'ἀλλ' οὐ τοῦτο ἤθελον μόνον, ἀλλὰ καὶ τὴν ἐμαυτοῦ προαίρεσιν κατὰ φύσιν ἔχουσαν τηρῆσαι· [q] οὐ τηρήσω δέ, ἐὰν [r] ἀγανακτῶ [s] πρὸς τὰ γινόμενα.' [t]

**c. 5.** [t] Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα· [u] οἷον ὁ θάνατος οὐδὲν δεινόν [v] (ἐπεὶ καὶ Σωκράτει ἂν ἐφαίνετο), [w] ἀλλὰ τὸ δόγμα τὸ περὶ τοῦ θανάτου, διότι δεινόν, ἐκεῖνο τὸ δεινόν ἐστιν. [x] ὅταν οὖν ἐμποδιζώμεθα ἢ ταρασσώμεθα ἢ λυπώμεθα, μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ' ἑαυτούς, τοῦτ' ἔστι τὰ ἑαυτῶν δόγματα. [y] ἀπαιδεύτου ἔργον τὸ ἄλλοις ἐγκαλεῖν, ἐφ' οἷς αὐτὸς πράσσει κακῶς· ἠργμένου παιδεύεσθαι τὸ ἑαυτῷ· πεπαιδευμένου τὸ μήτε ἄλλῳ μήτε ἑαυτῷ.

---

[rs] cf. III, 4, 1 (?) — [st] IV, 4, 25
**c. 5.** [tu] I, 19, 7 sq. — [uv, wx] II, 1, 13 — [vw] II, 1, 15 — [wy] I, 11, 35

---

6 *ἐπιλέγῃς, ὅτι εὐθὺς B et C un. (v; εὐθὺς ἐπιλέγῃς Par.)* ‖ *⟨καὶ⟩ λούσασθαι C un.* ‖ *θέλω, ⟨θέλω δὲ⟩ καὶ Schw.* ‖ 8 *γένηται om. B un. (ed. Hal., v)* ‖ *ἐμποδίζον A; ἐμπόδιον C un. (Par.)* ‖ 9 *διότι] ὅτι A et C nonn.* ‖ *ἀλλ' om. C nonn. (Par.)*

SA **c. 5.** 1 *Ταράσσει* — (6) *δόγματα Stob. flor. 118, 20* ‖ *Ταράττει A (?) et D nonn. (V), C un.* ‖ 2 *τῶν πραγμάτων] αὐτῶν AD et C un. (Par.)* ‖ *οἷον ὁ om. Stob.; ὁ om. B et C nonn. (Par.; οἷον om. Nil.)* ‖ *οὐδὲν δεινόν] οὐ (sic. Nil. quoque) φοβερόν Stob.* ‖ 3 *ἐπεὶ om. B* ‖ *ἐφαίνετο] ἦν Stob.* ‖ *δόγμα* — (4) *ἐστιν] δόξαι τὸν θάνατον εἶναι φοβερόν Stob.* ‖ 4 *τοῦ om. BC sing. (ed. Hal.)* ‖ *διότι] ὅτι C nonn. (v)* ‖ *ἐκεῖνο — ἐστιν om. B (Par.; cf. Stob.)* ‖ 5 *ἢ — λυπώμεθα om. Stob. (Par. praeter cod. Med.)* ‖ *ταρασσώμεθα] σπαραττώμεθα B* ‖ *ἢ λυπώμεθα om. B un. (ed. Hal., v)* ‖ *ἄλλον ⟨μηδένα⟩ C un. (Nil.)* ‖ 6 *τοῦτο ⟨δέ⟩ ἔστι τὰ φαῦλα δόγμ. Stob.* ‖ 7 *ἀπαιδεύτου* — (9) *ἑαυτῷ Olymp. in Plat. Alcib. pr. ed. Creuzer. II 101; ἀπαιδεύτου* — (8) *κακῶς Exc. Vindob. (Stob. flor. ed. Mein. IV, 294) 59 = ΦΙΛΟΣΟΦΩΝ ΛΟΓΟΙ (in progr. gymn. acad. Vindob. a. 1888 a me ed.) 99* ‖ *ἔργον om. Exc. Vind.* ‖ *τὸ om. Olymp. (Par.)* ‖ *ἄλλῳ Exc. Vind. (Nil., Par.)* ‖ 8 *πράσσῃ Exc. Vind.* ‖ *ἠργμένου ⟨δὲ⟩ παιδεύεσθαι τὸ ἑαυτῷ ⟨ἐγκαλεῖν, μὴ μέντοι ἄλλοις⟩, πεπαιδευμένου ⟨δὲ⟩ τὸ μήτε ἑαυτῷ μήτ' ἄλλοις Olymp.*



**c. 6.** Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι. εἰ ὁ ἵππος ἐπαιρόμενος ἔλεγεν ὅτι 'καλός εἰμι', οἰστὸν ἂν ἦν· σὺ δέ, ὅταν λέγῃς ἐπαιρόμενος ὅτι 'ἵππον καλὸν ἔχω', ἴσθι, ὅτι ἐπὶ ἵππου ἀγαθῷ ἐπαίρῃ. [z] τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν. [a] ὥσθ', ὅταν ἐν χρήσει φαντασιῶν κατὰ φύσιν σχῇς, τηνικαῦτα ἐπάρθητι· τότε γὰρ ἐπὶ σῷ τινι ἀγαθῷ ἐπαρθήσῃ.

**c. 7.** Καθάπερ ἐν πλῷ τοῦ πλοίου καθορμισθέντος εἰ ἐξέλθοις ὑδρεύσασθαι, ὁδοῦ μὲν πάρεργον καὶ κοχλίδιον ἀναλέξῃ καὶ βολβάριον, τετάσθαι δὲ δεῖ τὴν διάνοιαν ἐπὶ τὸ πλοῖον καὶ συνεχῶς ἐπιστρέφεσθαι, μή ποτε ὁ κυβερνήτης καλέσῃ, κἂν καλέσῃ, πάντα ἐκεῖνα ἀφιέναι, ἵνα μὴ δεδεμένος ἐμβληθῇς ὡς τὰ πρόβατα· οὕτω καὶ ἐν τῷ βίῳ, ἐὰν διδῶται ἀντὶ

---

**c. 6.** cf. fr. XVIII quaeque ibi adn. — [za] III, 24, 69.

---

**c. 6.** *Stob. flor. 21, 17* ‖ 2 *ὁ ἵππος] τὸ ἱμάτιον Par. ubique (an τὸ ἱππάριον? sed. cf. fragm. XVIII v. 13)* ‖ *ἔλεγεν ⟨ἂν⟩ BC et D un.* ‖ *ἔλεγεν ἐπαιρόμενος Stob.* ‖ *οἰστὸν] ἀνεκτὸν Stob.* ‖ 3 *ἐπαιρόμενος om. Stob.* ‖ 4 *ἵππου Upt. (sec. Simpl.; cod. quidam Villebrunii): ἵππῳ Ench. (Nil.; ἱματίῳ Par.), Stob. (ἐφ'); ἵππον C un. a prima manu* ‖ *ἐπαίρῃ] μέγα φρονεῖς Stob.* ‖ 5 *⟨τὸ⟩ σόν C nonn. (Par.)* ‖ *ὥσθ' — φαντασιῶν] ἢν ὅταν Stob.* ‖ *φαντασιῶν ⟨ἐπαρθῇς⟩ A nonn. (V)* ‖ 6 *σχῇς] ἔχῃς AC sing. (Nil., Par.); Stob.* ‖ *τηνικαῦτα ⟨εὐλόγως⟩ C (Nil.); τότε Stob.* ‖ *ἐπαρθήσῃ A nonn. (V), B et C un. (?; Nil.)* ‖ 7 *σῷ τινι ἀγαθῷ] τῷ σῷ πλεονεκτήματι Stob.* ‖ *ἐπαρθήσῃ] ἐπαίρῃ A* SMA

**c. 7.** *Stob. flor. 118, 21* ‖ 1 *Ὥσπερ A nonn. (V); C un. (Par.)* ‖ *πλῷ] λιμένι A nonn. (V) et D un.* ‖ *τοῦ om. Stob.* ‖ 2 *ἐξέλθῃς ABD sing.; sic et ἂν pro εἰ C nonn. (ed. Hal., v)* ‖ *πάρεργόν ⟨ἐστι⟩ AC sing. (Par.)* ‖ 3 *ἀναλέξασθαι A et C nonn. (Par.; ἀναλέξαι Nil.); Stob.* ‖ *καὶ] ἢ C un. (ed. Hal., v; Par.); om. B un.* ‖ *βολτάριον Stob. (corr. in βολβάριον, βολβιτάριον, βολβιδάριον)* ‖ *δεῖ τὴν διάνοιαν om. Stob.* ‖ 5 *μή ποτε A nonn. et C un. (V; codd. nonn. Par.): μή τοι σε B'; μή τοι γε C un. (v); μή τι σε C un.; μή τι Stob. (Nil.; inter μή τι, μή τοι, μή τι σε variant cett. codd. Par.)* ‖ *καλῇ sic C un. quoque cum Nilo), κἂν καλῇ Stob.* ‖ 6 *⟨τότε⟩ πάντα C un. (sim. Par. ed.); πάντα ⟨σ'⟩ Stob.* ‖ *ἐκεῖνα om. Stob.* ‖ *ἐκβληθῇς BC sing. (ed. Hal., v; βληθῇς Par.); βληθῇ Stob.* ‖ 7 *δίδωται ⟨ὁδοῦ πάρεργον⟩ Stob.* SA

βολβαρίον καὶ κοχλιδίου γυναικάριον καὶ παιδίον, οὐδὲν κωλύσει· ἐὰν δὲ ὁ κυβερνήτης καλέσῃ, τρέχε ἐπὶ τὸ πλοῖον ἀφεὶς ἐκεῖνα ἅπαντα μηδὲ ἐπιστρεφόμενος. ἐὰν δὲ γέρων ᾖς, μηδὲ ἀπαλλαγῇς ποτε τοῦ πλοίου μακράν, μή ποτε καλοῦντος ἐλλίπῃς.

**c. 8.** [b] Μὴ ζήτει τὰ γινόμενα γίνεσθαι ὡς θέλεις, ἀλλὰ θέλε τὰ γινόμενα ὡς γίνεται καὶ εὐροήσεις. [c]

**c. 9.** Νόσος σώματός ἐστιν ἐμπόδιον, προαιρέσεως δὲ οὔ, ἐὰν μὴ αὐτὴ θέλῃ. [d] χώλανσις σκέλους ἐστὶν ἐμπόδιον, προαιρέσεως δὲ οὔ. [e] καὶ τοῦτο ἐφ' ἑκάστου τῶν ἐμπιπτόντων ἐπίλεγε· [f] εὑρήσεις γὰρ αὐτὸ ἄλλου τινὸς ἐμπόδιον, σὸν δὲ οὔ. [g]

---

**c. 8.** [bc] II, 14, 7 (cf. I, 12, 15)
**c. 9.** [de] cf. I. 18, 17 — [fg] I, 1, 28

---

8 βολβοῦ καὶ κοχλίου Stob. ‖ ἢ παιδίον C nonn. ‖ 9 τρέχειν A nonn. (V) ‖ 10 πάντα B' et C un. (v); om. C un. (Nil.); om. Stob. ‖ 11 ᾖς γέρων Stob. ‖ ᾖ A nonn. (V); εἶ B ‖ μηδὲ Nil., Par., Stob., Simpl.: μηδὲν Ench. ‖ ἀποχώρει Stob.; ἀπολείπῃ A un. ‖ ποτε ante τοῦ om. A nonn. (V); Stob. ‖ 12 καλούμενος C un. (?; Nil., Par., Simpl.) ‖ ἐλλίπῃς ⟨καὶ δεδεμένος βληθήσῃ (vel βληθῇς). ὁ γὰρ ἑκὼν μὴ ἑπόμενος (ἄκων add. C un.) ἀνάγκῃ τοῦτο πείσεται.⟩ C nonn. (Nili codd. Haf. et Paris.; Par.)

**c. 8.** Stob. ecl. II, 8, 23; flor. ΑΡΙΣΤΟΝ ΚΑΙ ΠΡΩΤΟΝ ΜΑΘΗΜΑ (a me ed. in Stud. Vind. XI, 25) ecl. 83 ‖ 1 ⟨τὸ⟩ τὰ Stob. ed. Cant. ‖ γίνεσθαι τὰ γινόμενα flor. ‖ γιγνόμενα γίγνεσθαι et (2) γίγνεται Stob. ‖ 2 θέλειν B ‖ ὡς post θέλε pon. Stob., flor. (in quo ὡς ⟨ἂν⟩ - - γίνηται legitur, praeter cod. Heidelberg., qui cum Ench. consentit) ‖ γινόμενα ⟨γίνεσθαι⟩ C un. (Nili ed. Rom., Par.; post γίνεται pon. Nili codd.) ‖ γίνονται flor. cod. Heidelberg. ‖ καὶ εὐροήσεις om. flor. ‖ εὑρήσεις Stob.; εὖ ποιήσεις B et CD sing. (v; εὐδαιμονήσεις Nil.; ἀλύπως διάξεις Par.;)

**c. 9.** Stob. ecl. II, 8, 22, ubi exciderunt verba (3) προαιρέσεως — (4) ἐμπόδιον ‖ 1 προαίρεσις A nonn. (V) ‖ προαιρέσεως δὲ ⟨δόξα⟩, οὐ ἐὰν μὴ BD sing. ‖ 2 οὐκ ⟨ἐστιν⟩ Stob. ‖ χώλωσις BCD sing. (Nil., Par.); Stob. ‖ 3 ἑκάστῳ A (Par.) ‖ 5 σῶν Stob.



**c. 10.** [g] Ἐφ' ἑκάστου τῶν προσπιπτόντων μέμνησο ἐπιστρέφων ἐπὶ σεαυτὸν ζητεῖν, τίνα δύναμιν ἔχεις πρὸς τὴν χρῆσιν αὐτοῦ. [h] ἐὰν καλὸν ἴδῃς ἢ καλήν, [i] εὑρήσεις δύναμιν πρὸς ταῦτα ἐγκράτειαν· ἐὰν πόνος προσφέρηται, εὑρήσεις [k] καρτερίαν· [l] ἂν λοιδορία, εὑρήσεις ἀνεξικακίαν. [m] καὶ οὕτως ἐθιζόμενόν σε οὐ συναρπάσουσιν αἱ φαντασίαι. [n]

**c. 11.** Μηδέποτε ἐπὶ μηδενὸς εἴπῃς ὅτι 'ἀπώλεσα αὐτό', ἀλλ' ὅτι 'ἀπέδωκα'. τὸ παιδίον ἀπέθανεν; ἀπεδόθη. ἡ γυνὴ ἀπέθανεν; ἀπεδόθη. 'τὸ χωρίον ἀφῃρέθην.' οὐκοῦν καὶ τοῦτο ἀπεδόθη. 'ἀλλὰ κακὸς ὁ ἀφελόμενος.' [o] τί δὲ σοὶ μέλει, διὰ τίνος σε ὁ δοὺς ἀπῄτησε; [p] μέχρι δ' ἂν διδῷ, ὡς ἀλλοτρίου αὐτοῦ ἐπιμελοῦ, [q] ὡς τοῦ πανδοχείου οἱ παριόντες. [r]

**c. 12.** [r] Εἰ προκόψαι θέλεις, ἄφες τοὺς τοιούτους ἐπι- 1
λογισμούς. [s] 'ἐὰν ἀμελήσω τῶν ἐμῶν, οὐχ ἕξω διατροφάς'. [t] 'ἐὰν μὴ κολάσω τὸν παῖδα, πονηρὸς ἔσται.' [u] κρεῖσσον γὰρ λιμῷ ἀποθανεῖν [v] ἄλυπον καὶ ἄφοβον γενόμενον [w] ἢ ζῆν ἐν ἀφθόνοις ταρασσόμενον. [x] κρεῖττον δὲ τὸν παῖδα κακὸν εἶναι ἢ σὲ κακοδαίμονα. [y] ἄρξαι τοιγαροῦν ἀπὸ τῶν σμικρῶν. [z] ἐκχεῖται τὸ 2

---

**c. 10.** [gh] cf. I, 6, 28 — [hi] cf. II, 18, 15 (III, 3, 14) — [kl] cf. I, 6, 28; II, 16, 14 — [mn] II, 18, 24
**c. 11.** [op] cf. IV, 1, 101, 172 — [qr] cf. II, 23, C6 (I, 24, 14)
**c. 12, s. 1.** cf. omnino III. 26 — [st, uv] IV, 10, 26 sq. (III, 26, 29; I, 9, 8) — [uv, wx] cf. fragm. XXXII — [vw] cf. IV, 6, 16; III, 22, 48 — **s. 2.** [yz] I, 18, 18 — [zb] IV, 10, 26 — [za] IV, 1, 141

---

**c. 10.** 1 ἑκάστῳ AC sing. (Par.) ‖ 2 πρὸς ἑαυτὸν A et C un. ‖ 5 ἐὰν A nonn. ‖ λοιδορίαν BC sing. (Nil.)

**c. 11.** Stob. flor. 108, 79; cf. Hierocles in Pyth. carm. SMA
aur. p. 84 ed. Needh. ‖ 2 ἡ γυνὴ — (3) ἀπεδόθη om. B et C nonn. (Par.); ἡ — (4) ἀφελόμενος Stob. ‖ 3 ἀφῃρέθη BC (Nil.), ‖ 4 δαί (δέ A) μοι Stob. ‖ διὰ τί σε A nonn. (V), διὰ τί Stob.; διότι σε B (cod. Med. Par.; διότι Nil.) ‖ 5 διδῶται C nonn. (Nil., Simpl. et sim. Par.); δίδωται Stob. (qui reliqua sic contra hit: ἐπιμελοῦμαι ὡς τοῦ πανδοκίου) ‖ ἀλλοτρίων αὐτῶν C un. (Nil., Par.)

**c. 12, s. 1.** 1 διαλογισμούς B et C nonn., D un. (λογισμοὺς Par.) ‖ 3 γάρ ⟨ἐστιν⟩ C nonn. et A un. (V; Nil., Par.) ‖ **s. 2.** Stob. flor. 19, 15 (Br ex Arr. interpolatus) ‖ ⟨ἀλλὰ κτήσασθαι SMABr
θέλεις καὶ οἷος εἶ μακροθυμεῖν⟩ ἄρξαι Par. ‖ 6 τοιγαροῦν] οὖν Stob. ‖ μικρῶν B et C un. (Nil.); Stob.